UNIVERSITÄTS BIBLIOTHEK WUPPERTAL

BERGISCHE UNIVERSITÄT WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## (Carmina) Pindari Carmina

### Pindarus

### Oxonii, (1935)

Isthmia VII

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1916

Visual Library

# *ISTHMIA VII*

## ΣΤΡΕΨΙΑΔΗΙ ΘΗΒΑΙΩΙ ΠΑΓΚΡΑΤΙΩΙ

στρ. α′ Τίνι τῶν πάρος, ὦ μάκαιρα Θήβα,
καλῶν ἐπιχωρίων μάλιστα θυμὸν τεὸν
εὔφρανας; ἦρα χαλκοκρότου πάρεδρον
Δαμάτερος ἀνίκ' εὐρυχαίταν
ἄντειλας Διόνυσον, ἢ χρυσῷ μεσονύκτιον
νείφοντα δεξαμένα
τὸν φέρτατον θεῶν,

ἀντ. α′ ὁπότ' Ἀμφιτρύωνος ἐν θυρέτροις
σταθεὶς ἄλοχον μετῆλθεν Ἡρακλείοις γοναῖς;
ἤτ' ἀμφὶ πυκναῖς Τειρεσίαο βουλαῖς;
ἤτ' ἀμφ' Ἰόλαον ἱππόμητιν;
ἢ Σπαρτῶν ἀκαμαντολογχᾶν; ἢ ὅτε καρτερᾶς
Ἄδραστον ἐξ ἀλαλᾶς
ἄμπεμψας ὀρφανὸν

ἐπ. α′ μυρίων ἑτάρων ἐς Ἄργος ἵππιον;
ἢ Δωρίδ' ἀποικίαν οὕνεκεν ὀρθῷ
ἔστασας ἐπὶ σφυρῷ
Λακεδαιμονίων, ἕλον δ' Ἀμύκλας
Αἰγεῖδαι σέθεν ἔκγονοι, μαντεύμασι Πυθίοις;
ἀλλὰ παλαιὰ γὰρ
εὕδει χάρις, ἀμνάμονες δὲ βροτοί,

στρ. β′ ὅ τι μὴ σοφίας ἄωτον ἄκρον
κλυταῖς ἐπέων ῥοαῖσιν ἐξίκηται ζυγέν.
κώμαζ' ἔπειτεν ἁδυμελεῖ σὺν ὕμνῳ
καὶ Στρεψιάδᾳ· φέρει γὰρ Ἰσθμοῖ

3 ἦρα B: ἦ ῥα D 5 νίφοντα codd., corr. Schroeder 8 ἤτ' Bergk: ἦ ὅτ' codd. τειρεσίαο πυκιναῖς codd., transp. Pauw πυκιναῖς codd., corr. Pauw 9 ἤτ' Bergk: ἦ ὅτ' codd. 10 κρατερᾶς D 11 ἑταίρων εἰς codd., corr. E. Schmid 12 οὕνεκ' codd., corr. Thiersch 15 αἰγεῖδαι B: γρ. ἀργεῖδαι scholl.: αἰδεῖσθαι D πυθίοισιν BD, corr. Tricl. 20 ἔπειτεν Pauw: ἔπει τ' ἐν B: ἔπειτ' ἐν D 21 στρεψίαδα D

νίκαν παγκρατίου· σθένει τ' ἔκπαγλος ἰδεῖν τε μορ-
φάεις· ἄγει τ' ἀρετὰν
22b οὐκ αἴσχιον φυᾶς.

ἀντ. β' φλέγεται δὲ ἰοπλόκοισι Μοίσαις,
μάτρωΐ θ' ὁμωνύμῳ δέδωκε κοινὸν θάλος,
25 χάλκασπις ᾧ πότμον μὲν Ἄρης ἔμειξεν,
τιμὰ δ' ἀγαθοῖσιν ἀντίκειται.
ἴστω γὰρ σαφὲς, ὅστις ἐν ταύτᾳ νεφέλᾳ χάλα-
ζαν αἵματος πρὸ φίλας
27b πάτρας ἀμύνεται,

ἐπ. β' λοιγὸν ἄντα φέρων ἐναντίῳ στρατῷ,
ἀστῶν γενεᾷ μέγιστον κλέος αὔξων
30 ζώων τ' ἀπὸ καὶ θανών.
τὺ δέ, Διοδότοιο παῖ, μαχατὰν
αἰνέων Μελέαγρον, αἰνέων δὲ καὶ Ἕκτορα
Ἀμφιάραόν τε,
εὐανθέ' ἀπέπνευσας ἁλικίαν

στρ. γ' προμάχων ἀν' ὅμιλον, ἔνθ' ἄριστοι
36 ἔσχον πολέμοιο νεῖκος ἐσχάταις ἐλπίσιν.
ἔτλαν δὲ πένθος οὐ φατόν· ἀλλὰ νῦν μοι
Γαιάοχος εὐδίαν ὄπασσεν
ἐκ χειμῶνος. ἀείσομαι χαίταν στεφάνοισιν ἁρ-
μόζων. ὁ δ' ἀθανάτων
39b μὴ θρασσέτω φθόνος.

ἀντ. γ' ὅ τι τερπνὸν ἐπάμερον διώκων
41 ἕκαλος ἔπειμι γῆρας ἔς τε τὸν μόρσιμον
αἰῶνα. θνᾴσκομεν γὰρ ὁμῶς ἅπαντες·

22 μορφάεσσ' B : μορφάεσ' D : corr. Ceporinus 22b αἴσχθιον D : αἰσχίω Tricl. 23 δ' ἰοπλοκάμοισι codd., corr. Bergk : δ' ἰοβοστρύχοισι E. Schmid 24 μάτρῳ(ῳ) BD, corr. Tricl. δέδορκε Heyne 25 Ἄρης] ἄρ' D 27 πρὸς φίλας codd., corr. E. Schmid 28 ἄντα φέρων (ἐνάντιον φέρων schol.) Thiersch : ἀμύνων codd.: ἀντιάσαις Hartung : ἀντανύων Bergk : ἀμφιβαλὼν Mair 36 ἐπ' ἐλπίσιν codd., corr. Rom. 40 ἐπάμερον Mommsen : ἐφάμερον codd. 41 ἐπεί μιν D 42 θνάσκομεν codd., corr. Schroeder

δαίμων δ' ἄϊσος· τὰ μακρὰ δ' εἴ τις
παπταίνει, βραχὺς ἐξικέσθαι χαλκόπεδον θεῶν
ἕδραν· ὅ τοι πτερόεις
44b ἔρριψε Πάγασος

ἐπ. γ' δεσπόταν ἐθέλοντ' ἐς οὐρανοῦ σταθμοὺς
46 ἐλθεῖν μεθ' ὁμάγυριν Βελλεροφόνταν
Ζηνός. τὸ δὲ πὰρ δίκαν
γλυκὺ πικροτάτα μένει τελευτά.
ἄμμι δ', ὦ χρυσέᾳ κόμᾳ θάλλων, πόρε, Λοξία,
50 τεαῖσιν ἁμίλλαισιν
εὐανθέα καὶ Πυθόϊ στέφανον.

43 ἄϊσος Benedictus: ἄϊστος codd. 44 ὅ τοι B: ὅτι D: ὁ δὲ Heyne
51 πυθοῖ codd., corr. E. Schmid: Πυθόθεν Pauw